## ΑΧΑΡΝΕΩΝ ΥΠΟΘΕΣΙΣ.

Ἐκκλησία ὑφέστηκεν Ἀθήνησιν ἐν τῷ φανερῷ. καθ' ἣν τοὺς προπολεμοῦντας τῶν ῥητόρας, καὶ προφανῶς τὸν δῆμον ἐξαπατῶντας, Δικαιόπολίς τις τῶν αὐτουργῶν, ἐξελέγχων παρεισάγεται. τούτου δὲ διά τινος Ἀμφιθέου σπεισαμένου κατ' ἰδίαν τοῖς Λάκωσιν, Ἀχαρνικοὶ γέροντες πεπυσμένοι τὸ πρᾶγμα, διώκοντες ἐν χοροῦ σχήματι προσέρχονται. καὶ μετὰ ταῦτα θύοντα τὸν Δικαιόπολιν ὁρῶντες, ὡς ἐσπεισμένον τοῖς πολεμίοις καταλεύσειν ὁρμῶσιν. ὁ δὲ, ὑποσχόμενος ὑπὲρ ἐπιξήνου τὴν κεφαλὴν ἔχων ἀπολογήσασθαι, ἐφ' ᾧ τε ἐὰν μὴ πείσῃ τὸν τράχηλον ἀποκοπήσεσθαι, ἐλθὼν ὡς Εὐριπίδην, πτωχικὴν στολὴν αἰτεῖ. καὶ στολισθεὶς τοῖς Τηλέφου ῥακώμασι, παρῳδεῖ τὸν ἐκείνου λόγον οὐκ ἀχαρίτως, καθαπτόμενος Περικλέους περὶ τοῦ Μεγαρικοῦ ψηφίσματος. παροξυνθέντων δέ τινων ἐπὶ τῷ δοκεῖν συνηγορεῖν τοῖς πολεμίοις εἶτα ἐπιφερομένων, ἐνισταμένων δὲ ἑτέρων ὡς τὰ δίκαια εἰρηκότος αὐτοῦ, ἐπιφανεὶς Λάμαχος, θορυβεῖν πειρᾶται εἶτα γινομένου διηγκυσμοῦ, κατενεχθεὶς ὁ χορὸς, ἀπολύει τὸν Δικαιόπολιν. καὶ πρὸς τοὺς δικαστὰς περὶ τε τοῦ ποιητοῦ ἀρετῆς καὶ ἄλλων τινῶν διαλέγεται. τοῦ δὲ Δικαιοπόλιδος ἄγοντος καθ' αὑτὸν εἰρήνην, τὸ μὲν πρῶτον Μεγαρικός τις εἰς χοιρίδια διεσκευασμένα παιδία ἑαυτοῦ φέρων ἐν σάκκῳ πράσιμα. παραγίνεται. μετὰ δὲ τοῦτον, ἐκ Βοιωτῶν ἕτερος, ἐγχέλεις τε καὶ παντοδαπῶν ὀρνίθων γένος ἀνατιθέμενος εἰς τὴν ἀγοράν. οἷς ἐπιφανέντων τινῶν συκοφαντῶν, συλλαβόμενος τινὰ ἐξ αὐτῶν ὁ Δικαιόπολις καὶ βαλὼν εἰς σάκκον, τοῦτόν τε τῷ Βοιωτῷ ἀντίφορτον ἐξάγειν ἐκ τῶν Ἀθηναίων παραδίδωσι, καὶ προσαποστελλόντων αὐτῷ πλειόνων, καὶ δεομένων μεταδοῦναι τῶν σπονδῶν, καθυπερηφανεῖ. παροικοῦντος δὲ αὐτῷ Λαμάχου, καὶ ἐνεστηκυίας τῆς τῶν χοῶν ἑορτ. τοῦτον ἄγγελος παρὰ τῶν στρατηγῶν ἥκων, κελεύει ἐξελθόντα μετὰ τῶν ὅπλων, τὰς εἰσβολὰς τηρεῖν. τὸν δὲ Δικαιόπολιν παρὰ τοῦ ἱερέως τις τοῦ Διονύσου καλῶν, ἐπὶ δεῖπνον ἔρχεται. καὶ μετ' ὀλίγον ὁ μὲν τραυματίας καὶ κακῶς ἀπαλλάττων, ἐπανήκει. ὁ δὲ Δικαιόπολις δεδειπνηκὼς καὶ μεθ' ἑταίρας ἀναλύων. τὸ δὲ δρᾶμα τῶν εὖ σφόδρα πεποιημένων, καὶ ἐκ παντὸς τρόπου τὴν εἰρήνην προκαλούμενον.

Ἄλλως Ἀριστοφάνους γραμματικοῦ δι' ἰαμβείων.

Ἐκκλησίας οὔσης, παραγίνονταί τινες
Παρὰ Περσῶν. καὶ παρὰ Σιτάλκους πάλιν.
Οἱ μὲν στρατιὰν ἄγοντες. οἱ δὲ χρυσίον.
Παρὰ τῶν Λακεδαιμονίων τε μετὰ τούτοις τινὲς
Σπονδὰς φέροντες. οὓς Ἀχαρνεῖς οὐδαμῶς
Εἴασαν, ἀλλ' ἐξέβαλον. ὧν καθάπτεται
Σκληρῶς ὁ ποιητής. αὐτό τε ψήφισμά τε,
Μεγαρικὸν ὡς ἱκανῶς φησι. καὶ τὸν Περικλέα.
Οὐκ τῶν Λακώνων. τῶν δὲ πάντων αἴτιον.
Σπονδὰς λύσιν τε τῶν ἐφεστώτων κακῶν.

Ἐδιδάχθη ἐπὶ Εὐθυμένους ἄρχοντος ἐν Ληναίοις διὰ Καλλιστράτου. καὶ πρῶτος ἦν. δεύτερος Κρατῖνος Χειμαζομένοις. οὐ σώζεται. τρίτος Εὔπολις Νουμηνίαις.

## OCCASIO FABVLÆ, QVÆ INSCRIBITVR ACHARNENSES EX ATHEnæo, Thucydide, Diodoro Siculo, & Plutarcho.

### EX FRISCHLINO.

ERAT *Athenis Aſpaſia Socratica, mulier ſpecioſiſſima: cuius fama vniuerſam Græciam compleuerat. Hanc impendiò amabat Pericles, ciuitatis Atticæ Prætor. Cùm autem iuuenes Athenienſes temulenti, Megaram fuiſſent profecti, & Simæthã nobile ſcortũ rapuiſſet: Megarenſes dolore iracundiæ permoti, Athenas proficiſcuntur, & Aſpaſiæ duas meretriculas viciſſim auferunt. Hinc belli Peloponneſiaci principium erupit omnibus Græcis, ex tribus meretricibus, vt docet Athenæus in Dipnoſoph. Nã ira percitus Aſpaſiæ amator Pericles, decreto publico ſanxit:*